Concours section : AGREGATION EXTERNE LETTRES CLASSIQUES

Epreuve matière : THEME GREC

N° Anonymat : A000073593 Nombre de pages : 4

17 / 20

| Concours | Section/Option | Epreuve | Matière |
| --- | --- | --- | --- |
| EAE | 0201A | 103 | 0309 |

# Thème grec

## Πῶς οἱ Ῥωμαῖοι σχολὴν εἶχον

Τά τε Θερμὰ καὶ οἱ Ἱππόδρομοί εἰσι μόνα γένη τῶν οἰκοδομημάτων τῶν πρὸς τὰς τέρψεις τετραμμένων ὧν ἴχνη τιν' ἐν Ῥώμῃ μένει. Οὐδὲν γὰρ ἄλλο θέατρόν ἐστιν ἢ τὸ τοῦ Μαρκέλλου οὗ τὰ ἐρείπια ἔτι καὶ νῦν ὑπάρχει. Ἀλλ' ὁ Πλίνιος λέγει ὅτι οἱ τότε εἶδον τριακοσίους καὶ ἑξήκοντα μαρμαρίνους στύλους καὶ τρισχιλίους ἀνδριάντας ἐν θεάτρῳ τινὶ ὃ ὀλίγας μόνον ἡμέρας ἤμελλε μένειν. Τότε μὲν γὰρ οἱ Ῥωμαῖοι ᾠκοδόμουν οἰκοδομήματα οὕτω βέβαια

Il est interdit aux candidats de signer leur composition ou d'y mettre un signe quelconque pouvant indiquer sa provenance.

ὄντα ὥστε τοῖς σεισμοῖς ἀντεῖχεν,
τότε δ' ἥδοντο μεγίστοις χρώμενοι ἔργοις
ἐπὶ τὸ οἰκοδομεῖν οἰκοδομήματα ἃ
τῶν ἑορτῶν τελευτηθεισῶν αὐτοὶ ἐξῄρουν·
τούτῳ τοίνυν τῷ τρόπῳ παιδιὰν παντοδαπῶς
ἐποιοῦντο τὸν χρόνον. Καὶ μὴν οἱ Ῥωμαῖοι
οὐκ ἐπεθύμουν τῶν δραμάτων ὥσπερ οἱ Ἕλληνες
τούτων ἐπεθύμουν· τὰ οὖν γράμματα
ἐν Ῥώμῃ ἤνθησε μόνον διὰ τῶν τε γεγραμμένων
καὶ τῶν ποιητῶν τῶν Ἑλλήνων ὥστε τὸ
τῶν Ῥωμαίων μέγεθος μᾶλλον διὰ τῆς μεγίστης
μεγαλοπρεπείας τῆς τῶν οἰκοδομημάτων
ἀπεφαίνετο ἢ διὰ τῶν μεγίστων τῇ φαντασίᾳ
πεποιημένων. Ἡ δ' ἄφθονος πολυτέλεια αὕτη
καὶ ταῦτα τὰ θαύματα τὰ ἐκ τοῦ πλούτου
γενόμενα τὴν φύσιν πάνυ σεμνῶς ἔχουσιν·
οὐκέτι γὰρ αὕτη ἦν ἐλευθερία τις
ἀλλ' αὕτη αἰεὶ ἦν δύναμίς τις.
Καὶ μὴν τὰ πρὸς τὸ δημοσίᾳ λούεσθαι

τετραμμένα οἰκοδομήματα ἐπαρχίαι ὠνομασμένα ἐτύγχανεν· ἐν οἷς συνελέγοντο οἱ ποικίλιοι καρποὶ καὶ αἱ ποικιλίαι ἐμπορίαι ἃ ἄν τις εὑρεῖν δυνήθη ἔν τινι ὅλῃ χώρᾳ. Ὁ δ' Ἱππόδρομος ὁ μέγιστος Ἱππόδρομος ὠνομασμένος οὗ τὰ λείψανα ἔτι καὶ νῦν ὁρᾶται οὕτως ἔγγυς ἦν τῶν τῶν Καισάρων βασιλείων ὥσθ' ὁ Νέρων ἐκ τῶν τῶν ἑαυτοῦ βασιλείων θυρίδων ἐδύνατο σημαίνειν τὴν ἱπποδρομίαν. Ὁ δ' Ἱππόδρομος οὕτω μέγας ἦν ὥστε τριακοντάκις μυρίους ἀνθρώπους χωρεῖν. Ὀλίγου δὲ δεῖν ὅλος ὁ δῆμος ἥδετο ἐπὶ τούτῳ ἐν τῷ αὐτῷ καιρῷ· ὥστ' ἐξῆν νομίζειν ταύτας τὰς ἑορτὰς εἶναι παιδείαν τινὰ πρὸς τὸν δῆμον.